λελοιδόρημ' ἄρ' ο]ὐ δικαίως τῆι Τύχηι·
ὡς γὰρ τυφλὴν αὐτὴν κ]ακῶς εἴρηκά που,
νῦν δ' ἐξέσωσέ μ' ὡς ἔ]οιχ' ὁρῶσά τι.
ἐπόνουν μὲν αὐτό]ς, τοῖς πόνοις δ' εἰργαζόμην
οὐδὲν πλέον· τούτ]ων γὰρ οὐκ ἂν ἐπέτυχον,
εἰ μὴ συνέλαβεν.] ὥστε μηδείς, πρὸς θεῶν,
πράττων κακῶς λίαν ἀθυμήσηι ποτέ·
ἴσως γὰρ ἀγαθοῦ τοῦτο πρόφασις γίνεται.

## FRAGMENTA ALIVNDE NOTA

### 1 (307 Kock)

STOBAEVS, *Ecl.* iii. 21. 2. *Μενάνδρου Κωνειαζομέναις·*

τὸ "γνῶθι σαυτόν" ἐστιν, ἂν τὰ πράγματα
εἰδῆις τὰ σαυτοῦ καὶ τί σοι ποιητέον.

### 2 (308 K)

SCHOL. in Clem. Alex. *Protr.* ii. 26. οὗτος (sc. Ἐπιμενίδης) ἐκάθηρε τὰς Ἀθήνας· ἦν δὲ Κρὴς τῶι γένει καὶ σοφώτατος· οὗ καὶ Μένανδρος μέμνηται ἐν ταῖς Κωνειαζομέναις.